γυναῖκας ἔπλασεν. ὦ πολυτίμητοι θεοί,
ἔθνος μιαρόν. γαμεῖ τις ἀνθρώπων, γαμεῖ;
λάθριοι τὸ λοιπὸν γὰρ ἐπιθυμίαι κακαί,
γαμηλίωι λέχει τε μοιχὸς ἐντρυφῶν
καὶ φαρμακεῖαι καὶ νόσων χαλεπώτατος
φθόνος, μεθ' οὗ ζῆι πάντα τὸν βίον γυνή.

## 722

PAPYRVS FRIBVRGENSIS 12 (*SB Heidelberg* [1914], 2, p. 7).

⟨cὺ δὲ δὴ⟩ τί cύννους κατὰ μόνας cαυτῶι λαλεῖc
δοκεῖc τε παρέχειν ἔμφαcιν λυπουμένου;
ἐμοὶ προcανάθου, λαβέ με cύμβουλον πόνων.
μὴ καταφρονήcηιc οἰκέτου cυμβουλίαc.
πολλάκιc ὁ δοῦλοc τοὺc τρόπουc χρηcτοὺc ἔχων
τῶν δεcποτῶν ἐγένετο cωφρονέcτεροc.
εἰ δ' ἡ τύχη τὸ cῶμα κατεδουλώcατο,
ὅ γε νοῦc ὑπάρχει τοῖc τρόποιc ἐλεύθεροc.

## 740 (531 K)

[PLVTARCHVS], *Consolatio ad Apollonium* 103 C. τὸ ὑπὸ Μενάνδρου ῥηθέν·

εἰ γὰρ ἐγένου cύ, τρόφιμε, τῶν πάντων μόνοc,
ὅτ' ἔτικτεν ἡ μήτηρ c', ἐφ' ὧι τε διατελεῖν
πράccων ἃ βούλει καὶ διευτυχῶν ἀεί,